# ΠΡΟΣ ΓΑΛΑΤΑΣ

Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων οὐδὲ 1 11.12.
δι' ἀνθρώπου ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ θεοῦ
πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, καὶ οἱ 2
σὺν ἐμοὶ πάντες ἀδελφοί, ταῖς ἐκκλησίαις τῆς
Γαλατίας· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πα- 3 R 1,7.
τρὸς καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ δόντος 4 2,20. 1 T 2,6. Tt 2,14. 1J 5,19.
ἑαυτὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται
ἡμᾶς ἐκ τοῦ αἰῶνος τοῦ ἐνεστῶτος πονηροῦ κατὰ
τὸ θέλημα τοῦ θεοῦ καὶ πατρὸς ἡμῶν, ᾧ ἡ δόξα 5
εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θαυμάζω ὅτι οὕτως ταχέως μετατίθεσθε ἀπὸ 6
τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον
εὐαγγέλιον, ¹ὃ οὐκ ἔστιν ἄλλο· εἰ μή τινές εἰσιν 7 Act 15,1.24.
οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι
τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. ἀλλὰ καὶ ἐὰν ἡμεῖς 8 1 K 16,22.
ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται [ὑμῖν] παρ'
ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. ὡς προ- 9
ειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω, εἴ τις ὑμᾶς
εὐαγγελίζεται παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

Ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν θεόν; ἢ 10 1 Th 2,4.
ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ ἔτι ἀνθρώποις ἤρε-
σκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην. γνωρίζω γὰρ 11
ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ'

---

*3* HW *πατρ. ημων κ. κυρ. Ι. Χρ.* h *πατρ. κ. κυρ.* [*ημων*] *Ι. Χρ.* *4 περι* : ℋW *υπερ* *8* W *καν* | RW *ευαγγελιζηται* | [*υμιν*] : W (sed post *ουραν.*) — T *9* W *προειρηκαμεν και* *11 γαρ* : hT *δε*

---

*6* — *ουτως* *9 προειρηκα* *10 ει* : + *γαρ*

12 ἐμοῦ ὅτι οὐκ ἔστιν κατὰ ἄνθρωπον· οὐδὲ γὰρ
ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ οὔτε ἐδι-
δάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ.
Act 26,4–20. 13 Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ
Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκ-
Act 22,3. 14 κλησίαν τοῦ θεοῦ καὶ ἐπόρθουν αὐτήν, καὶ προ-
έκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλι-
κιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς
R 1,1. Jr 1,5. Is 49,1. 15 ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. Ὅτε
δὲ εὐδόκησεν [ὁ θεὸς] ὁ ἀφορίσας με **ἐκ κοιλίας**
**μητρός** μου καὶ **καλέσας** διὰ τῆς χάριτος αὐτοῦ
2,7. Mt 16,17. 16 ˡ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγ-
γελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσ-
17 ανεθέμην σαρκὶ καὶ αἵματι, οὐδὲ ἀνῆλθον εἰς
Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους, ἀλλὰ
ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς
Act 9,26. 18 Δαμασκόν. Ἔπειτα μετὰ τρία ἔτη ἀνῆλθον εἰς
Ἱεροσόλυμα ἱστορῆσαι Κηφᾶν, καὶ ἐπέμεινα πρὸς
Mt 13,55. 19 αὐτὸν ἡμέρας δεκαπέντε· ἕτερον δὲ τῶν ἀποστό-
λων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ
20 κυρίου. ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ θεοῦ
Act 9,30. 21 ὅτι οὐ ψεύδομαι. ἔπειτα ἦλθον εἰς τὰ κλίματα
22 τῆς Συρίας καὶ τῆς Κιλικίας. ἤμην δὲ ἀγνοού-
μενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας
23 ταῖς ἐν Χριστῷ. μόνον δὲ ἀκούοντες ἦσαν ὅτι ὁ
διώκων ἡμᾶς ποτε νῦν εὐαγγελίζεται τὴν πίστιν
24 ἥν ποτε ἐπόρθει, καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν θεόν.
Act 15,2. 2 Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς
Ἱεροσόλυμα μετὰ Βαρνάβα, συνπαραλαβὼν καὶ
6.9. 2 Τίτον· ˡ ἀνέβην δὲ κατὰ ἀποκάλυψιν· καὶ ἀνεθέμην
αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς ἔθνεσιν,

---

*12* H *αυτό,* | *ουτε* : h *ουδε* *15* TW — [*ο θεος*] *17 ανηλθ.* : W *απηλθον* *18* RW *ετη τρια* *21* H *και* [*της*] *K.*

*17.18 απηλθον* *18 Πετρον*

*κατ᾽ ἰδίαν δὲ τοῖς δοκοῦσιν, μή πως εἰς κενὸν τρέχω*
*ἢ ἔδραμον. ἀλλ᾽ οὐδὲ Τίτος ὁ σὺν ἐμοί, Ἕλλην* 3 Act 16,3.
*ὤν, ἠναγκάσθη περιτμηθῆναι· διὰ δὲ τοὺς παρεισ-* 4 Act 15,1.24.
*άκτους ψευδαδέλφους, οἵτινες παρεισῆλθον κα-*
*τασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν*
*Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώσουσιν· οἷς* 5 5,1.
*οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ, ἵνα ἡ ἀλή-*
*θεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς. ἀπὸ δὲ* 6
*τῶν δοκούντων εἶναί τι, — ὁποῖοί ποτε ἦσαν*
*οὐδέν μοι διαφέρει· πρόσωπον* [ὁ] *θεὸς ἀνθρώπου*
*οὐ λαμβάνει — ἐμοὶ γὰρ οἱ δοκοῦντες οὐδὲν προσ-*
*ανέθεντο, ἀλλὰ τοὐναντίον ἰδόντες ὅτι πεπίστευ-* 7 Act 9,15;
*μαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας καθὼς Πέτρος* 15,12; 22,21.
*τῆς περιτομῆς, ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀπο-* 8
*στολὴν τῆς περιτομῆς ἐνήργησεν καὶ ἐμοὶ εἰς τὰ*
*ἔθνη, καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι,* 9 J 1,42.
*Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες*
*στῦλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ*
*κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς*
*τὴν περιτομήν· μόνον τῶν πτωχῶν ἵνα μνημο-* 10 Act 11,30;
*νεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.* 12,25.
*Ὅτε δὲ ἦλθεν Κηφᾶς εἰς Ἀντιόχειαν, κατὰ πρόσ-* 11
*ωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. πρὸ* 12 Act 11,3.
*τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου μετὰ τῶν*
*ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλεν καὶ*
*ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς.*
*καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι,* 13
*ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑπο-*
*κρίσει. ἀλλ᾽ ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσιν* 14
*πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ*
*Κηφᾷ ἔμπροσθεν πάντων· εἰ σὺ Ἰουδαῖος ὑπάρ-*

---

*4* H *καταδουλωσουσιν, —* *5* h[r] *— οις ουδε* *6* [o] : T—RW *12* h[r] *ηλθεν* | *περιτομης* : T·W, *13 και* 2[o] : [H]—W

---

*4 — δε* *5 — οις* | *διαμενη* *9 — και Κηφας vl Πετρος κ. Ιακ.* *11 Πετρος* *14 Πετρω*

χων ἐθνικῶς καὶ οὐκ Ἰουδαϊκῶς ζῇς, πῶς τὰ
15 ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; Ἡμεῖς φύσει Ἰου-
Act 15,10.11. 16 δαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί, εἰδότες δὲ
R 3,20.28; 4,5; 11,6. E 2,8. ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν
Ps 143,2. μὴ διὰ πίστεως Χριστοῦ Ἰησοῦ, καὶ ἡμεῖς εἰς
Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν
ἐκ πίστεως Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου, ὅτι
17 ἐξ ἔργων νόμου **οὐ δικαιωθήσεται πᾶσα σάρξ.** εἰ
δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ εὑρέθημεν
καὶ αὐτοὶ ἁμαρτωλοί, ἄρα Χριστὸς ἁμαρτίας διά-
18 κονος; μὴ γένοιτο. εἰ γὰρ ἃ κατέλυσα ταῦτα
πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνιστάνω.
R 7,6. 19 ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον ἵνα θεῷ ζήσω.
1,4. J 17,23. 20 Χριστῷ συνεσταύρωμαι· ׀ ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ
ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει
ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ἀγαπήσαντός με
21 καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. Οὐκ ἀθετῶ
τὴν χάριν τοῦ θεοῦ· εἰ γὰρ διὰ νόμου δικαιο-
σύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.
3 Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανεν, οἷς
κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐσταυ-
2 ρωμένος; τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν, ἐξ
ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πί-
3 στεως; ׀ οὕτως ἀνόητοί ἐστε; ἐναρξάμενοι πνεύματι
4 νῦν σαρκὶ ἐπιτελεῖσθε; τοσαῦτα ἐπάθετε εἰκῇ;
5 εἴ γε καὶ εἰκῇ. ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ πνεῦμα
καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου ἢ
Gn 15,6. 6 ἐξ ἀκοῆς πίστεως; καθὼς Ἀβραὰμ **ἐπίστευσεν τῷ
θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.**
7 Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοι υἱοί

---

*14* ουκ : h („MSS“) T ουχ W ουχι *16* R πιστ. Ιησου Χριστου | hW εις Ιησουν Χριστον *17* W ἄρα *20* h[r]W τη του θεου και Χριστου του αγαπ. 3,*1* εβασκανεν : h[r] + τη αληθεια μη πειθεσθαι *6* (W sect inc. Καθως)

---

*14* πως : τι *16* — δε | οτι 2° : διοτι *20* αγαπ. : αγορασαντος 3,*1* προεγρ. : + εν υμιν

εἰσιν Ἀβραάμ. προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ 8 Gn 12,3; 18,18.
πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεός, προευηγγελίσατο
τῷ Ἀβραὰμ ὅτι **ἐνευλογηθήσονται ἐν σοὶ πάντα
τὰ ἔθνη**. ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν 9 R 4,16.
τῷ πιστῷ Ἀβραάμ. Ὅσοι γὰρ ἐξ ἔργων νόμου 10 Dt 27,26.
εἰσίν, ὑπὸ κατάραν εἰσίν· γέγραπται γὰρ ὅτι **ἐπι-
κατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσιν τοῖς** γεγραμ-
**μένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά**.
ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ 11 Hb 2,4. R 1,17.
δῆλον, ὅτι **ὁ δίκαιος ἐκ πίστεως ζήσεται**· ὁ δὲ 12 Lv 18,5.
νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ' **ὁ ποιήσας αὐτὰ
ζήσεται ἐν αὐτοῖς**. Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ 13 R 8,3. 2 K 5,21.
τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν κατ- Dt 21,23.
άρα, ὅτι γέγραπται· **ἐπικατάρατος πᾶς ὁ κρεμά-
μενος ἐπὶ ξύλου**, ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ 14
Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγ-
γελίαν τοῦ πνεύματος λάβωμεν διὰ τῆς πίστεως.
Ἀδελφοί, κατὰ ἄνθρωπον λέγω· ὅμως ἀνθρώπου 15
κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδια-
τάσσεται. τῷ δὲ Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγε- 16 Gn 12,7; 13,15; 17,7; 22,18; 24,7.
λίαι **καὶ τῷ σπέρματι** αὐτοῦ. οὐ λέγει· καὶ τοῖς
σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός·
**καὶ τῷ σπέρματί σου**, ὅς ἐστιν Χριστός. τοῦτο 17 Ex 12,40.
δὲ λέγω· διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ θεοῦ
ὁ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη γεγονὼς νό-
μος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγε-
λίαν. εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ 18
ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κε-
χάρισται ὁ θεός. Τί οὖν ὁ νόμος; τῶν παρα- 19 R 5,20. Act 7,53.
βάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα
ᾧ ἐπήγγελται, διαταγεὶς δι' ἀγγέλων, ἐν χειρὶ με-

---

*12* T *αλλα* *14* ℌW *Ιησου Χριστω* *15* TW *λεγω.*
*19 ου* : ℌW *αν*

---

*10 εν πασιν* *12 αυτα* : + *ανθρωπος* *16 ος* : *ο*
*17 θεου* : + *εις Χριστον* *19 ετεθη*

20 σίτου. ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ θεὸς
R 8,2–4. 21 εἷς ἐστιν. ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ
θεοῦ; μὴ γένοιτο. εἰ γὰρ ἐδόθη νόμος ὁ δυνά-
μενος ζωοποιῆσαι, ὄντως ἐκ νόμου ἂν ἦν ἡ δι-
R 3,9–19; 11,32. 22 καιοσύνη· ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα
ὑπὸ ἁμαρτίαν ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ
Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν.
4,3. 23 Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον
ἐφρουρούμεθα συνκλειόμενοι εἰς τὴν μέλλουσαν
24 πίστιν ἀποκαλυφθῆναι. ὥστε ὁ νόμος παιδαγω-
γὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως
R 10,4. 25 δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι
J 1,12. R 8,17. 26 ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ θεοῦ
R 6,3. R 13,14. 27 ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ
εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε.
R 10,12. 1 K 12,13. 28 οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος
οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες
7. R 9,7. 29 γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. εἰ δὲ ὑμεῖς
Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ, κατ'
4 ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ' ὅσον χρό-
νον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει
2 δούλου κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους
ἐστὶν καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ
3,23; 5,1. Kol 2,20. 3 πατρός. οὕτως καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ
E 1,10. 4 τὰ στοιχεῖα τοῦ κόσμου ἤμεθα δεδουλωμένοι· ὅτε
δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν
ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός,
3,13.26. 5 γενόμενον ὑπὸ νόμον, ' ἵνα τοὺς ὑπὸ νόμον ἐξα-
R 8,15. 6 γοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι
δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ θεὸς τὸ πνεῦμα τοῦ
υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον· Ἀββᾶ

*20.21* W εστιν· ο *21* του θεου : [H]—W | εκ νομου : ℌ εν νομω | h ην [αν] T ην αν *24* RW δικαιωθωμεν. (W sect inc. ελθ. v. 25) *28* T απαντες *29* T κατα 4,*3* ημεθα : R ημεν *6* W — ο θεος | H Αββά

*23* συνκεκλεισμενοι 4,*6* ημων : υμων

ὁ πατήρ. ὥστε οὐκέτι εἶ δοῦλος ἀλλὰ υἱός· εἰ 7 3,29. R 8,16.17.
δὲ υἱός, καὶ κληρονόμος διὰ θεοῦ.
Ἀλλὰ τότε μὲν οὐκ εἰδότες θεὸν ἐδουλεύσατε 8
τοῖς φύσει μὴ οὖσιν θεοῖς· νῦν δὲ γνόντες θεόν, 9
μᾶλλον δὲ γνωσθέντες ὑπὸ θεοῦ, πῶς ἐπιστρέ-
φετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα,
οἷς πάλιν ἄνωθεν δουλεῦσαι θέλετε; ἡμέρας πα- 10 R 14,5.
ρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς. Kol 2,16.
φοβοῦμαι ὑμᾶς μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. 11 2 J 8.
Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς, ἀδελφοί, 12 2 K 2,5.
δέομαι ὑμῶν. οὐδέν με ἠδικήσατε· ¹ οἴδατε δὲ ὅτι 13 Act 16,6.
δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ 1 K 2,3.
πρότερον, καὶ τὸν πειρασμὸν ὑμῶν ἐν τῇ σαρκί 14
μου οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε, ἀλλὰ ὡς
ἄγγελον θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν.
¹ ποῦ οὖν ὁ μακαρισμὸς ὑμῶν; μαρτυρῶ γὰρ ὑμῖν 15
ὅτι εἰ δυνατὸν τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες
ἐδώκατέ μοι. ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀλη- 16 Am 5,10.
θεύων ὑμῖν; ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλὰ ἐκ- 17 1,7.
κλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε. κα- 18
λὸν δὲ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μό-
νον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς. τέκνα μου, 19 1 K 4,15.
οὓς πάλιν ὠδίνω μέχρις οὗ μορφωθῇ Χριστὸς ἐν
ὑμῖν· ἤθελον δὲ παρεῖναι πρὸς ὑμᾶς ἄρτι καὶ 20
ἀλλάξαι τὴν φωνήν μου, ὅτι ἀποροῦμαι ἐν ὑμῖν.
Λέγετέ μοι, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν 21 9. 3,23.
νόμον οὐκ ἀκούετε; γέγραπται γὰρ ὅτι Ἀβραὰμ 22 Gn 16,15.
δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης καὶ ἕνα Gn 21,2.9.
ἐκ τῆς ἐλευθέρας. ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης 23 R 9,7–9.
Gn 17,16.

---

*7 δια θεου* : h[r] [θεου] *δια Χριστου* ‖ *δια θεου* *9* h *δουλευειν* *10* T *ενιαυτους;* *14* W *αλλ* *18* HW *υμας,* *19* ℋ *τεκνια* | *υμιν* : T,W. *23* *μεν* : [H]—W

---

*7 — ει* *8 — φυσει* *14 υμων : μου* *15 που : τις* | *ουν : + ην* *17* fin + *ζηλουτε δε τα κρειττω χαρισματα* *18 δε : + το* *21 αναγινωσκετε*

κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας
5,1. R 8,15. 24 διὰ τῆς ἐπαγγελίας. ἅτινά ἐστιν ἀλληγορούμενα.
αὗται γάρ εἰσιν δύο διαθῆκαι, μία μὲν ἀπὸ ὄρους
25 Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἁγαρ. τὸ
δὲ Ἁγαρ Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ· συνστοι-
χεῖ δὲ τῇ νῦν Ἰερουσαλήμ, δουλεύει γὰρ μετὰ
H 12,22. 26 τῶν τέκνων αὐτῆς. ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευ-
Is 54,1. 27 θέρα ἐστίν, ἥτις ἐστὶν μήτηρ ἡμῶν· γέγραπται γάρ·

**εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα,**
**ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα·**
**ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς**
**ἐχούσης τὸν ἄνδρα.**

23. 28 ὑμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα
Gn 21,9. 29 ἐστέ. ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς
Gn 21,10.12. 30 ἐδίωκεν τὸν κατὰ πνεῦμα, οὕτως καὶ νῦν. ἀλλὰ
τί λέγει ἡ γραφή; **ἔκβαλε τὴν παιδίσκην καὶ τὸν**
**υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς**
3,29. 31 **παιδίσκης μετὰ τοῦ υἱοῦ** τῆς ἐλευθέρας. διό,
ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα ἀλλὰ τῆς
ἐλευθέρας.

4,5.31. Act 15,10. 5 Τῇ ἐλευθερίᾳ ἡμᾶς Χριστὸς ἠλευθέρωσεν· στή-
κετε οὖν καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε.
2 Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι ἐὰν περιτέ-
3 μνησθε Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. μαρτύ-
ρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ
4 ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. κατ-
ηργήθητε ἀπὸ Χριστοῦ οἵτινες ἐν νόμῳ δικαι-
5 οῦσθε, τῆς χάριτος ἐξεπέσατε. ἡμεῖς γὰρ πνεύματι

---

*23 δια της : ℌ δι* *24* T *δουλιαν* | H *Ἅγαρ (it 25)* *25 δε Αγαρ* : hT *γαρ* R *γαρ [Αγαρ]* *28 υμεις et εστε : ℌ ημεις et εσμεν* *31.5,1 της ελευθερας. ... στηκ. ουν και* : h[s] *της ελευθερας, ἡ ελ. ... ηλευθερωσεν. στηκ. ουν και it τ. ελευθερας. Τη ελ. [ουν] ἡ Χριστος ημας (ημας Χρ.) ηλευθερωσεν στηκετε και (Τῇ fort pro 'Επ')* *5,1* T *δουλιας* | H *ενεχεσθε.* —

---

*26 παντων ημων* *30* fin + *μου* *5,8 — παλιν*

ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. ἐν 6 6,15. 1 K 7,19.
γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε
ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη.
Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψεν ἀληθείᾳ μὴ 7
πείθεσθαι; ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος 8 1,6.
ὑμᾶς. μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. 9 1 K 5,6.
ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν κυρίῳ ὅτι οὐδὲν ἄλλο φρο- 10 1,7. 2 K 11,15.
νήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα,
ὅστις ἐὰν ᾖ. Ἐγὼ δέ, ἀδελφοί, εἰ περιτομὴν ἔτι 11 1 K 1,23.
κηρύσσω, τί ἔτι διώκομαι; ἄρα κατήργηται τὸ
σκάνδαλον τοῦ σταυροῦ. Ὄφελον καὶ ἀποκόψον- 12 Ps 12,4.
ται οἱ ἀναστατοῦντες ὑμᾶς.
Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· 13 1 P 2,16.
μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί,
ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. ὁ γὰρ 14 Lv 19,18.
πᾶς νόμος ἐν ἑνὶ λόγῳ πεπλήρωται, ἐν τῷ· **ἀγα-
πήσεις τὸν πλησίον σου ὡς σεαυτόν.** εἰ δὲ ἀλ- 15
λήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ'
ἀλλήλων ἀναλωθῆτε. Λέγω δέ, πνεύματι περι- 16 25.
πατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.
ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ 17 R 7,15.23.
πνεῦμα κατὰ τῆς σαρκός, ταῦτα γὰρ ἀλλήλοις
ἀντίκειται, ἵνα μὴ ἃ ἐὰν θέλητε ταῦτα ποιῆτε.
εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. 18 R 8,14.
φανερὰ δέ ἐστιν τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστιν 19 1 K 6,9.10.
πορνεία, ἀκαθαρσία, ἀσέλγεια, ˡ εἰδωλολατρεία, 20
φαρμακεία, ἔχθραι, ἔρις, ζῆλος, θυμοί, ἐριθεῖαι,
διχοστασίαι, αἱρέσεις, ˡ φθόνοι, μέθαι, κῶμοι, καὶ 21 E 5,5. Ap 22,15.
τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν καθὼς προεῖ-
πον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν θεοῦ

6 H [Ιησου]  8 $h^r$ — ουκ  9 ζυμοι : $h^r$ δολοι  20 H ειδωλολατρια | H φαρμακια | h ερεις, ζηλοι | H εριθιαι 21 φθονοι : [R] W+ φονοι | καθως : h+ και

10 — εν κυριω  14 νομος : + εν υμιν | πληρουται 17 γαρ : δε  19 πορνεια : pr μοιχεια

E 5,9. 22 οὐ κληρονομήσουσιν. ὁ δὲ καρπὸς τοῦ πνεύμα-
τός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία,
1 T 1,9. 23 χρηστότης, ἀγαθωσύνη, πίστις, ˈπραΰτης, ἐγκρά-
R 6,6. Kol 3,5. 24 τεια· κατὰ τῶν τοιούτων οὐκ ἔστιν νόμος. οἱ
δὲ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν
16. R 8,4. 25 τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις. Εἰ ζῶμεν
Ph 2,3. 26 πνεύματι, πνεύματι καὶ στοιχῶμεν. μὴ γινώμεθα
κενόδοξοι, ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθο-
Mt 18,15. Jc 5,19. 6 νοῦντες. Ἀδελφοί, ἐὰν καὶ προλημφθῇ ἄνθρω-
πος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ
καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραΰτητος,
2 σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων
τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν
3 νόμον τοῦ Χριστοῦ. εἰ γὰρ δοκεῖ τις εἶναί τι μηδὲν
2 K 13,5. 4 ὤν, φρεναπατᾷ ἑαυτόν. τὸ δὲ ἔργον ἑαυτοῦ δοκι-
μαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ
R 14,12. 5 καύχημα ἕξει καὶ οὐκ εἰς τὸν ἕτερον· ἕκαστος
1 K 9,14. 6 γὰρ τὸ ἴδιον φορτίον βαστάσει. Κοινωνείτω δὲ
ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶ-
7 σιν ἀγαθοῖς. Μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρί-
ζεται. ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ
R 8,13. J 6,63; 3,6. 8 θερίσει· ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ ἐκ
τῆς σαρκὸς θερίσει φθοράν, ὁ δὲ σπείρων εἰς τὸ
πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον.
2 Th 3,13. 9 τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐνκακῶμεν· καιρῷ
2 P 1,7. 10 γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. Ἄρα οὖν ὡς
καιρὸν ἔχωμεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάν-
τας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

11 Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ
5,11. Ph 3,18. 12 ἐμῇ χειρί. Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί,

---

*26* αλληλοις : h αλληλους *26.*6,*1* W φθονουντες, αδελφοι. *2* TW αναπληρωσετε *4* H [εκαστος] | ετερον : H,R. *9* RW εγκακ- *10* RW εχομεν *11* h ηλικοις

---

*23* πραοτης | εγκρατ. : + αγνεια 6,1 ανθρ. : τις εξ υμων

οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα
τῷ σταυρῷ τοῦ Χριστοῦ μὴ διώκωνται. οὐδὲ γὰρ 13
οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάσσουσιν, ἀλλὰ
θέλουσιν ὑμᾶς περιτέμνεσθαι ἵνα ἐν τῇ ὑμετέρᾳ
σαρκὶ καυχήσωνται. ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι 14 1 K 1,31; 2,2.
εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ
κόσμῳ. οὔτε γὰρ περιτομή τί ἐστιν οὔτε ἀκρο- 15 5,6. 1 K 7,19.
βυστία, ἀλλὰ καινὴ κτίσις. καὶ ὅσοι τῷ κανόνι 16 Ps 125,5; 128,6. Ph 3,3.
τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος,
καὶ **ἐπὶ τὸν Ἰσραὴλ** τοῦ θεοῦ.

Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· 17 2 K 4,10.
ἐγὼ γὰρ τὰ στίγματα τοῦ Ἰησοῦ ἐν τῷ σώματί
μου βαστάζω.

Ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ 18
μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί· ἀμήν.

[Inscriptio: ad Laodicenses?] 1,*1* *αγιοις* : + *πασιν*
*3* — *και πατηρ*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/